τὸ ἀπὸ τῆς ΔΒ τοῦ ὑπὸ ΔΒ ΒΓ ἐστὶν μεῖζον τοῦ ὑπὸ ΒΔ ΔΓ·
τὸ ἄρα ὑπὸ ΒΔ ΔΓ μεῖζον τοῦ ὑπὸ ΔΒ ΒΓ ἴσον ἐστὶ τῷ ὑ-
πὸ ΒΔ ΔΓ μεῖζον τοῦ ἀπὸ ΔΓ καὶ κοινοῦ ἀφαιρεθέντος
τοῦ ὑπὸ ΒΔ ΔΓ· λοιπὸν ἄρα τὸ ὑπὸ ΔΒ ΒΓ ἴσον ἐστὶ
τῷ ἀπὸ ΔΓ· ἔστιν ἄρα ὡς ἡ ΒΔ πρὸς τὴν ΔΓ. οὕτως
ἡ ΔΓ πρὸς τὴν ΓΒ· μείζων δὲ ἡ ΒΔ τῆς ΔΓ· μείζων
ἄρα καὶ ἡ ΔΓ
τῆς ΓΒ· ἡ
ΔΒ ἄρα ἄ-
κρον καὶ μέσον

Δ Α Γ Β

λόγον τέτμηται κατὰ τὸ Γ. καὶ τὸ μεῖζον τμῆμά ἐστιν
ἡ ΔΓ. ὅπερ ἔδει δεῖξαι:—

+ τοῦ γ' θεωρήματος ἡ ἀνά-
λυσις καὶ ἡ σύνθεσις:—

Εὐθεῖα γὰρ γραμμὴ ἡ ΑΒ. ἄκρον καὶ μέσον λόγον τέτμη-
σθω κατὰ τὸ Γ σημεῖον. καὶ ἔστω μεῖζον τμῆμα τὸ ΑΓ·
καὶ τῆς ΑΓ ἡμίσεια ἡ ΓΔ· λέγω ὅτι πενταπλάσιόν
ἐστι τὸ ἀπὸ τῆς ΒΔ τοῦ ἀπὸ τῆς ΓΔ· ἔστω γὰρ πεν-
ταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΔ τοῦ ἀπὸ τῆς ΓΔ. — διὰ τὸ ς' τοῦ β':
τὸ δὲ ἀπὸ τῆς ΔΒ τὸ ὑπὸ τῶν ΔΒ ΑΓ (ΒΓ) ἐστὶ μεῖζον τοῦ
ἀπὸ ΔΓ. τὸ ἄρα ὑπὸ ΔΒ ΒΓ μεῖζον τοῦ ἀπὸ ΔΓ πεν-
ταπλάσιόν ἐστι τοῦ ἀπὸ ΔΓ· διελόντι ἄρα τὸ ὑ-
πὸ ΔΒ ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΔΓ· τῷ δὲ
ὑπὸ ΔΒ ΒΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΑΓ· ἡ γὰρ ΔΒ ἄκρον
καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ· τὸ ἄρα ἀπὸ
τῆς ΑΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΔΓ· ἔστιν δέ·

α Λ Γ β

διπλῆ γὰρ ἡ ΑΓ τῆς ΔΓ:—

+ σύνθεσις:—

ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΓ τῆς ΔΓ. τετραπλάσιόν ἐστι τὸ ἀπὸ
ΑΓ τοῦ ἀπὸ ΔΓ· ἀλλὰ τῷ ἀπὸ ΑΓ ἴσον ἐστὶ τὸ ὑπὸ ΔΒ
ΒΓ· τὸ ἄρα ὑπὸ ΔΒ ΒΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΔΓ·
συντεθέντι· τὸ ἄρα ὑπὸ ΔΒ ΒΓ μετὰ τοῦ ἀπὸ ΔΓ ὅπερ
ἐστὶ τὸ ἀπὸ ΔΒ. πενταπλάσιόν ἐστι τοῦ ἀπὸ ΔΓ. ὅ-
περ ἔδει δεῖξαι:—

+ τοῦ δ' θεωρήματος ἡ ἀνά-
λυσις καὶ ἡ σύνθεσις:—

Εὐθεῖα γὰρ γραμμὴ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμη-
σθω κατὰ τὸ Γ· καὶ ἔστω μεῖζον τμῆμα τὸ ΑΓ· λέγω ὅτι
τὰ ἀπὸ τῶν ΑΒ ΒΓ τριπλάσιά ἐστι τοῦ ἀπὸ ΑΓ·
ἔστω γὰρ τὰ ἀπὸ τῶν ΑΒ ΒΓ τριπλάσια ἐστὶ τοῦ ἀ- — διὰ τὸ ζ' τοῦ β':
πὸ ΑΓ· ἀλλὰ τὰ ἀπὸ τῶν ΑΒ ΒΓ τὸ δὶς ὑπὸ τῶν ΑΒ
ΒΓ ἐστὶ μετὰ τοῦ ἀπὸ ΑΓ, τὸ ἄρα δὶς ὑπὸ τῶν ΑΒ ΒΓ
μετὰ τοῦ ἀπὸ ΑΓ. τριπλάσιόν ἐστι τοῦ ἀπὸ ΑΓ· διε-
λόντι· τὸ ἄρα δὶς ὑπὸ ΑΒ ΒΓ διπλάσιόν ἐστι τοῦ ἀ-
πὸ ΑΓ· ὥστε τὸ ἅπαξ ὑπὸ τῶν ΑΒ ΒΓ ἴσον ἐστὶ τῷ
ἀπὸ ΑΓ· ἔστιν δέ· ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον
τέτμηται

Α Γ Δ Β

κατὰ τὸ Γ
ὅπερ ἔδει δεῖξαι:—

+ σύνθεσις:—

ἐπεὶ ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ· καὶ
ἐστὶ μεῖζον τμῆμα ἡ ΑΓ. τὸ ἄρα ὑπὸ ΑΒ ΒΓ ⁒ διπλάσι-

⁒ ἴσον τῷ ἀπὸ ΑΓ· τὸ δὶς ὑπὸ τῶν ΑΒ ΒΓ· δὶς πλέον ἄρα τοῦ ἀπὸ ΑΓ